Fauos enim aqua ſuperfuſa exprimunt, ac ſimul aheno ad mediam vſque partem incoctam, primùm fictilibus infundunt, iam tum dulciſſimam: dehinc vaſis ligneis reſeruant in multa tempora, donec per omnia vini ſaporem contrahat, cętera potus dulcis, & ſyncerus. Ea verò induſtria, in Græcia aliquando paratum ferunt, vt à vino vetere nihil differret. Verùm miſtionem deinceps perquiſitam explorari non potuiſſe. Circa Theſſaliam tantam ſerpentum copiam generari memorant, vt à ciconiis niſi tollantur, inhabitabilis, deſertáque reddatur regio: quocirca & has venerantur incolæ, & lege, ne quis noceat cauetur, homicidij pœna tranſgreſſori conſtituta. Eodem pacto Lacedæmonem ferunt, ſerpentibus adeo refertam quondam, vt ob annonæ penuriam, his vice alimentorum vterentur Lacones. vnde & à Pythia ὀφιοδείρους vocatos. In Cypro inſula Metas aiunt ferrum deuorare. Aiunt & Chalybas, in iuxtà ſita parua inſula aurum comportatum conſtruere peculiari præ aliis omnibus ſtudio: quocirca in metallis, vt videtur, effoſſum ſecant. Fertur ex Suſis in Mediam iter facientibus ſtatione altera, immenſam ſcorpionum multitudinem generari. Quocirca tranſiens aliquando iſthac Perſarum rex triduò ibidem hæſit, ſuíſque omnibus ſcorpionum venationem imperauit, præmio iis, qui captorum numero excellerent, propoſito. In Cyrene aiunt non vnum tantum muſtarum genus reperiri, ſed plura, formíſque, & colore diſtincta, latifontes enim alias velut muſtelas, alias viperis ſimiles eſſe, quas & echidnas vocant. In Sicilia ferunt aquæ vorticem eſſe, in quem merſæ aues, reliquáve animantia ſuffocata, vitæ reſtituantur. In Scythis, quos Gelonas vocant, Tarandus reperitur haud frequens, colorem mutat pro locorum, in quibus extiterit, varietate, & proinde raró capitur. Nam & arborum, & locorum, & in vniuerſum omnium, quibus adpropinquarit, colorem reddit. Et, quod admiratione cum primis dignum eſt, habitus non ſolum corpori tam varius, quod etiam cum Chamæleone illi commune eſt, ſed etiam villo datur. Magnitudo ei, quæ boui, caput ceruino ſimile.

A Ὅταν δὲ τὰ κηρία ἐκθλίβωσιν, ὕδωρ ἐπιχέοντες, ἕψουσιν ἐν λέβητι ἕως ἂν ἐκλίπῃ τὸ ἥμισυ· ἔπειτα εἰς κεράμια ἐκχέαντες καὶ ἥδιστα ποιήσαντες, τιθέασιν εἰς σανίδας. ἐν ταύταις δέ φασιν ἔχειν πολυχρόνιον, καὶ γίνεσθαι οἰνῶδες, καὶ ἄλλως ἡδὺ καὶ εὔτονον. ἤδη δέ τινες καὶ ἐν Ἑλλάδι συμβεβηκέναι λέγουσι τοῦτο, ὥστε μηδὲν διαφέρειν οἴνου παλαιοῦ· καὶ ζητοῦντας

B ὕστερον τὴν κρᾶσιν, μὴ δύνασθαι εὑρεῖν. Περὶ Θετταλίαν μνημονεύουσιν ὄφεις ζωογονηθῆναι τοσούτους, ὥστε εἰ μὴ ὑπὸ τῶν πελαργῶν ἀνῃροῦντο, ἐκχωρῆσαι ἂν αὐτούς. διὸ καὶ τιμῶσι τοὺς πελαργούς, καὶ κτείνειν οὐ νόμος· καὶ ἐάν τις κτείνῃ, ἔνοχος τοῖς αὐτοῖς γίνεται οἷσπερ καὶ ὁ ἀνδροφόνος. Ὡσαύτως δὲ καὶ ἐν Λακεδαίμονι κατά τινας χρόνους

C μνημονεύεται γενέσθαι τοσοῦτον πλῆθος ὄφεων, ὥστε διὰ σπανοσιτίαν, καὶ τροφῇ τοὺς Λάκωνας χρῆσθαι αὐτοῖς. ὅθεν καὶ τὴν Πυθίαν φασὶ προσαγορεύεσθαι αὐτοὺς ὀφιοδείρους. Ἐν Κύπρῳ τῇ νήσῳ λέγεται τοὺς μύας τὸν σίδηρον ἐσθίειν. Φασὶ δὲ καὶ τοὺς Χάλυβας ἔν τινι ὑπερκειμένῳ αὐτοῖς νησιδίῳ τὸ χρυσίον συμφορεῖσθαι παρὰ πλειόνων. διὸ καὶ ἐν τοῖς μετάλλοις ἀνασχίζουσιν, ὡς ἔοικεν.

D Λέγεται δὲ ἐκ Σούσων εἰς Μηδίαν ἰοῦσιν ἐν δευτέρῳ σταθμῷ σκορπίων ἄπλετόν τι πλῆθος γενέσθαι. διὸ καὶ ὁ βασιλεὺς ὁ Περσῶν, ὅτε διοδεύοι, τρεῖς ἡμέρας ἔμενε, τοῖς αὐτοῦ πᾶσι συντάσσων ἐκθηρεύειν· τῷ δὲ πλείστους θηρεύσαντι ἆθλον ἐδίδου. Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ πλείω καὶ διάφορα καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις. ἐνίους γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ,

E γίνεσθαι· τινὰς δὲ ἐχινώδεις, οὓς καλοῦσιν ἐχῖνας. Περὶ Σικελίαν δέ φασιν εἶναι ὕδατος συστρεμμάτιον, εἰς ὃ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζώων, ὅταν ἀποβαφῇ, πάλιν ἀναβιοῖ. Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασι θηρίον γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τάρανδος.

F λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῶν τριχῶν καθ' ὃν ἂν καὶ τόπον ᾖ. εἶναι δὲ διά τε τοῦτο δυσθήρατον, καὶ διὰ τὴν μεταβολήν. καὶ γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χρόᾳ γίνεσθαι. θαυμασιώτατον δέ, τὸ τὴν τρίχα μεταβάλλειν· τὰ γὰρ λοιπά, τὸν χρῶτα, οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους. τὸ δὲ μέγεθος ὡσανεὶ βοός. τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ.